## ἌΛΛΟ.

Κἂν ἐμφερὴς σὺ τύμβε τοῖς ἄλλοις τάφοις
ἐκτὸς, τὰ δ' ἔνδον οὐχ ὅμοιος τοῖς δ' ὅλως.
κρύπτεις γὰρ ἔνδον τῆς Σατίσης τὸ κλέος
Δημήτριον, προὔχοντα νεκρῶν τῶν πέλας
γένει, βίῳ τε καὶ φρονήσει καὶ λόγῳ

## ἌΛΛΟ.

Τῷ μῷ δάκρυσον ἐμβλέπων τάφῳ, ξένε.
καὶ γὰρ πρόωρον ὀξέως ἔτλην μόρον,
ἀφαιρεθεὶς, φεῦ, τῆς σχολῆς καὶ τῶν βίβλων,
παιδεύσεώς τε τῆς ἐμοὶ παμφιλτάτης.

## ἌΛΛΟ.

Πολλῶν Ἰατρὸς ἀτρεκέστατ' ὢν ὅδε
ἀντάξιος, φεῦ, τῇδε κέκρυπται κόνει.
ὃς ἘΜΜΑΝΟΥΗΛ τοὔνομ'· ἀκμάζων δ' ἔτι
φθίσει τέτηκε· τοῦ γὰρ Ἰατροῦ τόδε,
ἄλλοις ἐπαρκοῦντ' αὐτὸν ἐκτήκεσθ' ὅλως·
κἂν εἰτέπειτα σὺν πόθῳ λίπῃ κλέος.

## ΤΈΛΟΣ.